# TEZAUR LITURGIC

## 11 SEPTEMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

# SF.CUVIOASE-MUCENIȚE

# TEODORA

# DE LA VASTA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 11 ΣΕΠΤΕΜΒΡΙΟΣ ΘΕΟΔΩΡΑ ΕΝ ΒΑΣΤΑ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Πελοποννήσου τὸ ἄνθος τὸ εὐωδέστατον, τιμήσωμεν συμφώνως, Θεοδώραν τὴν θείαν· ὁσίως γὰρ βιώσασα ἐπὶ γῆς, μαρτυρίου ἐν αἵματι, Χριστῷ προσήχθη ὡς θῦμα πνευματικόν, καὶ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Κλήσει καὶ σχήματι Μῆτερ ἀνδρώῳ ἔκρυψας, τὸ θῆλυ Θεοδώρα, καὶ ἀνδρείως ὑπέστης, δεινὴν συκοφαντίαν φθόνῳ ἐχθροῦ, καὶ οἰκείῳ ἐν αἵματι, ἀθλητικῶς ἐφοινίχθης τὴν κεφαλήν, ἐκτμηθεῖσα καλλιπάρθενε.

Φυτεία δένδρων ἐν στέγῃ τοῦ σοῦ ναοῦ θαυμαστῶς, ἣν εὗρες θείαν δόξαν, Θεοδώρα ἐκφαίνει· ᾧ πίστει προσιόντες οἱ εὐσεβεῖς, θείαν χάριν κομίζοντα, Ὁσιομάρτυς γεραίροντες εὐλαβῶς, τὰ σεπτά σου προτερήματα.

Ὁ σὸς Νυμφίος δεχθείς σου Χριστὸς τὴν δέησιν, πηγὴν ὑδάτων βλύζει, ἔνθεν κέχυται πάλαι, τὸ αἷμά σου τὸ θεῖον ἁγιασμόν, παρεχόντων ἑκάστοτε, τοῖς προσιοῦσιν ἐν πίστει εἰλικρινεῖ, Θεοδώρα καὶ ὑμνοῦσί σε.

*Δόξα. Ἦχος δ΄.*

Ἀνατεθεῖσα τῷ Χριστῷ ἐκ νεότητος, ἀμέμπτως αὐτῷ ἠκολούθησας, ἀνενδότῳ ψυχῇ, Θεοδώρα θεόφρον· καὶ ἀρετῶν τὴν πρᾶξιν καὶ αἱμάτων τὴν χύσιν, ὡς μύρον εὔοσμον αὐτῷ προσήγαγες, νομίμως ἀθλήσασα· καὶ διπλῷ στεφάνῳ κοσμηθεῖσα, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε, Ὁσιομάρτυς πάνσεμνε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἡ παγκόσμιος χαρά, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος· ἥτις δι᾽ ὑπερβολὴν ἀγαθότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν, Θεοτόκος γνωρίζεται. Αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἤσχυνας τοῦ ἐχθροῦ, τὸ θρᾶσος Θεοδώρα, ἀδίκως ὑποστᾶσα, ποινὴν τὴν τοῦ θανάτου, ὡς πλήρης θείας χάριτος.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Πάντες οἱ τῷ σεπτῷ, προστρέχοντες ναῷ σου, ἐξίστανται ὁρῶντες, τὴν ἐν αὐτῷ Ἁγίῳ, χάριν τοῦ θείου Πνεύματος.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Ἤσχυνας τοῦ ἐχθροῦ, τὸ θρᾶσος Θεοδώρα, ἀδίκως ὑποστᾶσα, ποινὴν τὴν τοῦ θανάτου, ὡς πλήρης θείας χάριτος.

*Δόξα. Τριαδικόν.*

Πᾶσιν τῶν ψυχῶν, καὶ τῶν σωμάτων δίδου, Τρισήλιε Θεότης, λιταῖς τῆς Θεοδώρας, οἰκτείρησον οὓς ἔπλασας.

*Καὶ νῦν. Θεοτοκίον.*

Νύμφη τοῦ Σοῦ Υἱοῦ, ἐδείχθη Θεοτόκε, ἀσκήσει καὶ ἀθλήσει, τελειοτάτῃ πίστει, ἡ Θεοδώρα λάμψασα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς δῶρον πολύτιμον καὶ προσφορὰν λογικήν, Χριστῷ προσενήνοχας τῷ ἐπὶ πάντων Θεῷ, τὸ αἷμά σου πάνσεμνε· ὅθεν Ὁσιομάρτυς, Θεοδώρα δυσώπει, ἄφεσιν τῶν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν, δοθῆναι τοῖς εὐφημοῦσι, τὴν θείαν ἄθλησιν.

*Δόξα... Καὶ νῦν ... Τῆς Ἑορτῆς. Ἦχος δ΄.*

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στʼ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γʼ τῆς Ἑορτῆς. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἰωακεὶμ καὶ ἡ Ἄννα πανηγυρίζουσι, τὴν ἀπαρχὴν τεκόντες, τῆς ἡμῶν σωτηρίας, τὴν μόνην Θεοτόκον, οἷς καὶ ἡμεῖς, συνεορτάζοντες σήμερον, τὴν ἐκ τῆς ῥίζης ἐκείνης τοῦ Ἰεσσαί, μακαρίζομεν Παρθένον ἁγνήν.

Ἡ θεοχώρητος Κόρη, καὶ Θεοτόκος ἁγνή, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαυΐδ ἡ θυγάτηρ, σήμερον γεννᾶται ἐξ, Ἰωακείμ, καὶ τῆς Ἄννης τῆς σώφρονος, καὶ τοῦ Ἀδάμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνατρέπει ἐν τῷ τόκῳ αὐτῆς.

Ἡ πρώην ἄγονος χώρα, γῆν καρποφόρον γεννᾷ, καὶ ἐξ ἀκάρπου μήτρας, καρπὸν ἅγιον δοῦσα, γάλακτι ἐκτρέφει· θαῦμα φρικτόν! ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἡ τὸν οὐράνιον ἄρτον ἐν τῇ γαστρί, δεξαμένη γαλουχεῖται μαζῷ.

*Ἕτερα. Τῆς Ἁγίας. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε, τῶν Ἀρκάδων οἱ χοροί, καὶ τῶν Μεσσηνίων οἱ δῆμοι, ἐν συμφωνίᾳ ᾠδῶν, μνήμην τὴν πανίερον πανηγυρίσωμεν, Θεοδώρας τῆς Μάρτυρος, ὁμοῦ καὶ Ὁσίας, ἣν Χριστὸς ἐδόξασεν, θείοις δωρήμασι· ὧδε γὰρ ἐκλάμψασα πάλαι, πᾶσαν τὴν περίοικον θείαις, δωρεαῖς πυρσεύει καὶ χαρίσμασι.

Βίον, διανύσασα σεμνόν, ἐν ἀνδρῴῳ σχήματι μῆτερ, τῇ τῆς πανάγνου Μονῇ, ἤνεγκας στεῤῥότατα, συκοφαντίαν πικράν, καὶ αδίκων τὸν θάνατον, δεχθεῖσα Ὁσία, πρὸς ζωὴν ἀθάνατον, χαίρουσα ἔδραμες· ὅθεν, τῷ ἁγίῳ ναῷ σου, σπεύδοντες πιστῶς Θεοδώρα, τὸν σὲ θαυμαστώσαντι δοξάζομεν.

Θαῦμα, τοῖς ὁρῶσιν ἀληθῶς, ὁ ἐν Βάστᾳ πέλει ναός σου, ἐκπλήττων ἅπαντας· δένδρα ἐν τῇ στέγῃ γάρ, φέρει παμμέγιστα, καὶ πηγὴν ἁγιάσματος, παρέχει βλυστάνων, Θεοδώρα πάνσεμνε, Ἁγίῳ Πνεύματι· ὄντως, θαυμαστῶς σε δοξάζει, ὁ τοὺς σοὺς ἁγίους ἀγῶνας, Κύριος τῶν ὅλων προσδεξάμενος.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ἡ τῆς Ὁσιομάρτυρος Θεοδώρας μνήμη, τῶν εὐσεβῶν τὰς χορείας συνεγείρει, πρὸς αἶνον καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ· τὸ πῦρ γὰρ τῆς ἀγάπης Αὐτοῦ δεχθεῖσα, ἐπαξίως πεπολίτευται, ἀσκητικῶς μὲν πρώην αὐτῷ εὐαρεστήσασα, ἀθλητικῷ δὲ τέλει, τὸν βίον σφραγίσασα· καὶ ὡς θεῖον δῶρον καὶ θῦμα εὐπρόσδεκτον, τῷ οὐρανίῳ Νυμφίῳ προσηνέχθη, ὑπεραρθεῖσα τῶν φθαρτῶν· καὶ νῦν τῶν θείων δωρεῶν, δεχομένη τὸ πλήρωμα, πληροῖ ἡμῶν τὰς αἰτήσεις, καὶ παρέχει ἑνὶ ἑκάστῳ ἴασιν ψυχῆς τε καὶ σώματος.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.*

Εἰ καὶ θείῳ βουλήματι, περιφανεῖς στεῖραι γυναῖκες ἐβλάστησαν, ἀλλὰ πάντων ἡ Μαρία τῶν γεννηθέντων, θεοπρεπῶς ὑπερέλαμψεν· ὅτι καὶ ἐξ ἀκάρπου παραδόξως τεχθεῖσα μητρός, ἔτεκεν ἐν σαρκὶ τῶν

ἁπάντων Θεόν, ὑπὲρ φύσιν ἐξ ἀσπόρου γαστρός, ἡ μόνη πύλη τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἣν διελθών, κεκλεισμένην διεφύλαξε, καὶ πάντα σοφῶς οἰκονομήσας, ὡς οἶδεν αὐτος, πᾶσι τοῖς ἀνθρώποις σωτηρίαν ἀπειργάσατο.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα'. 10-31)*

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε  πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν ποὺ χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς

ἀνέστησε τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησας, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Λιτή. Ἰδιόμελα. Ἦχος α΄.*

Ὡς καλῶς ἀθλήσασα, ἐπουρανίων θαλάμων ἠξίωσαι, Ὁσιομάρτυς Θεοδώρα· ὅθεν τὸν ἐν γῇ ναόν σου, ὡς

νοητὸν ἁγιαστήριον, λιμένα ἄκλυστον ἔδειξας, τοῖς ἐν θαλάσσῃ τοῦ βίου· ἔνθα προστρέχοντες, χάριτος θείας πληρούμεθα, καὶ τὴν σὴν ἁγίαν ἄθλησιν γεραίροντες, ἐκ ψυχῆς βοῶμεν· χαίροις σκεῦος δωρεῶν, ἡ τὴν κλῆσιν ἀληθεύουσαν δείξασα καὶ πᾶσιν αἰτουμένη, παρὰ Χριστοῦ τὸ θεῖον ἔλεος.

*Ἦχος β΄.*

Τὸν ζυγὸν τοῦ Χριστοῦ ὑπελθοῦσα, ἐν γυναικείᾳ φύσει, ἀσκητικοὺς ἀγώνας ἤνυσας ἀνδρειοτάτῃ ψυχῇ· ὡς γὰρ ἀνὴρ ἠγώνισαι, λαθοῦσα πάντας· καὶ ἀρετῶν τοὺς καρποὺς γεωργοῦσα, ὑποτύπωσις πέφηνας, ἐναρέτου ζωῆς· τῷ γὰρ Χριστῷ υμφευθεῖσα, οἷα προῖκα αὐτῷ προσήγαγες, καθαρότητα βίου, καὶ ἁγνείαν ψυχῆς καὶ τῶν αἱμάτων τὰ ῥεῖθρα, ἀθλητικῶς τελειωθεῖσα. Ἀλλ’ ὦ Θεοδώρα μακαρία, τῆς ἄνω ζωῆς ἀπολαύουσα, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος γ΄.*

Ὡς παρθένος φρόνιμη, τῷ ἐλαίῳ τῆς ἀρετῆς, τὴν ψυχικὴν λαμπάδα ἑτοιμάσασα, τῷ φωτὶ τῆς ἀθλήσεως αὐτῆς ἀνήψας, καὶ λαμπαδοφόρος ἀνέδραμες, εἰς τὸν οὐράνιον νυμφώνα ἔνδοξε· καὶ τοῦ Νυμφίου τὸ κάλλος ὁρῶσα, πάντας ἐποπτεύεις, τοὺς πανταχόθεν προσιόντας, ἐν τῷ τόπῳ τοῦ μαρτυρίου σου· διὸ Μεγαλοπόλεως ἡ περίοικος, καὶ τὰ ἐγγὺς χωρία, χορεύουσι τῇ δόξῃ σου, Ὁσιομάρτυς Θεοδώρα πάνσεμνε· οἷς δίδου ἑκάστοτε, τῶν πρεσβειῶν σου τὰ δωρήματα.

*Δόξα. Ἦχος δ΄.*

Μαρτυρικὴν ἐπιδείξασα ἀνδρείαν, μεγαλοφρόνως ἐδέξω τὸν ὑπὲρ τῆς δικαιοσύνης, Θεοδώρα θάνατον, τετρωμένη τῷ θείῳ ἔρωτι· διὸ τὸ χυθὲν αἷμά σου, πηγὴ ὑδάτων γέγονε, μαρτυρούντων τὴν σὴν λαμπρότητα, εἰς ἁγιασμὸν καὶ ἴασιν, τῶν πίστει μετεχόντων· ὑπὲρ ἥλιον γὰρ πᾶσι, τὰ τοῦ βίου σου ἔλαμψαν, καὶ τὸ ἀθλητικόν σου τέλος πάντας παιδεύει, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἡ παγκόσμιος χαρά, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος· ἥτις δι᾿ ὑπερβολὴν ἀγαθότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν, Θεοτόκος γνωρίζεται. Αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἀμνὰς τιμία Χριστοῦ, Ὁσιομάρτυς Θεοδώρα πανεύφημε, ἡ πᾶσαν καταλιποῦσα, τὴν τῶν φθαρτῶν μετοχήν, διαπύρῳ πόθῳ πρὸς τὸν Κύριον· ἐντεῦθεν ὡς ἄγγελος, τὴν ζωήν σου διήνυσας, καὶ τὸν ἀρχαῖον, κατεπάλαισας δράκοντα, καὶ δι’ αἵματος, πρὸς Χριστὸν ἐξεδήμησας· ὅθεν σὲ μακαρίζομεν, Ἀρκάδων συστήματα, καὶ Μεσσηνίων χορεῖαι, τῷ σῷ ναῷ καταφεύγοντες, ἐξ οὗ ἀναβλύζει, θεϊκῇ ἐπισκιάσει, χάρις σωτήριος.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Χαίροις, ἡ τῷ Σωτῆρι Χριστῷ, ἀκολουθήσασα σεμνὴ ἐκ νεότητος, ἐν σχήματι καὶ ἐν κλήσει, ἀνδρῶν στεῤῥῷ λογισμῷ, τοῦ ἐχθροῦ λαθοῦσα τὰ βουλεύματα, ἐν τέλει δὲ ἔγνωσαν, μετὰ φόνον τὸν ἄδικον, τίς εἶ Ὁσία, καὶ Χριστὸν ἐμεγάλυναν, τὸν τοιαύτην σοι, χορηγήσασα δύναμις· ὅθεν τοῦ μαρτυρίου σου, ὁ τόπος ἡγίασται, καὶ δωρεαῖς θεοσδότοις, εὐεργετεῖ τοὺς προστρέχοντας, ἀεὶ Θεοδώρα, καὶ τὴν μνήμην σου τελούντων, τὴν ἀεισέβαστον.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Ῥύθροις, τῶν σῶν σωμάτων ἡ γῆ, καταρδευθεῖσα Θεοδώρα ἀνέβλυσεν, ὑδάτων πηγὴν ἀφθόνων, προσμαρτυρούντων τρανῶς, τοῦ σοῦ μαρτυρίου τὴν λαμπρότητα· ἐντεῦθεν τῷ τάφῳ σου, ναὸν θεῖόν σοι ἤγειρας, οὗ ἐν τῇ στέγῃ, ὑψηλὰ δένδρα ἔφυσαν, καταπλήττοντα, τοὺς ὁρῶντας τὸ θέαμα· ὅθεν ἐν σοὶ ἀγγάλονται, τὰ Βάστα τὸ Ἴσαρι, καὶ τὰ περίχωρα πάντα, τὰ τῷ ναῷ σου προσκείμενα, οἷς δίδου ἁγία, τὴν θερμήν σου προστασίαν, καὶ τὴν βοήθειαν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῆς οἰκείας φύσεως, τὸ ἀσθενὲς ὑπεριδοῦσα, πρὸς ἀνδρικοὺς ἀπεδύσω ἀγῶνας, οὐρανόφρονι ψυχῇ, Θεοδώρα παμμακάριστε· καὶ ἐν ἀσκήσει ἀριστεύσασα, ἀθλητικῷ αἵματι ἐφοινίχθης, καὶ διπλῶν βραβείων, παρὰ Χριστοῦ ἠξίωσαι, Ὁσιομάρτυς

ἀοίδιμε. Καὶ νῦν μεθέξει θεϊκῇ, μυστικῶς θεουμένη, καὶ τὰ ὑπὲρ νοῦν καὶ λόγον ὁρῶσα, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Δεῦτε ἅπαντες πιστοί, πρὸς τὴν Παρθένον δράμωμεν· ἰδοὺ γὰρ γεννᾶται, ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ, τὸ τῆς παρθενίας κειμήλιον, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαί, τῶν Προφητῶν τὸ κήρυγμα, καὶ τῶν δικαίων, Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα. Γεννᾶται τοίνυν, καὶ ὁ κόσμος σύν αὐτῇ ἀνακαινίζεται, Τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται, ὁ ναὸς ὁ ἅγιος, τὸ τῆς θεότητος δοχεῖον, τὸ παρθενικὸν ὄργανον, ὁ βασιλικός θάλαμος, ἐν ᾧ τὸ παράδοξον τῆς ἀπορρήτου ἑνώσεως, τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη μυστήριον· ὃν προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον γέννησιν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς δῶρον πολύτιμον καὶ προσφορὰν λογικήν, Χριστῷ προσενήνοχας τῷ ἐπὶ πάντων Θεῷ, τὸ αἷμά σου πάνσεμνε· ὅθεν Ὁσιομάρτυς, Θεοδώρα δυσώπει, ἄφεσιν τῶν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν, δοθῆναι τοῖς εὐφημοῦσι, τὴν θείαν ἄθλησιν.

*Δόξα... Καὶ νῦν ... Τῆς Ἑορτῆς. Ἦχος δ΄.*

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς ἥλιος λαμπρός, ἡ ἁγία σου μνήμη, ἀνέτειλεν ἡμῖν, Θεοδώρα θεόφρον, καὶ τῆς Μεγαλοπόλεως, τὴν περίοικον ἅπασαν, συνεκάλεσεν, ὑμνολογῆσαι ἀξίως, τοὺς ἀγῶνάς σου· δι' ᾧ Χριστῷ τῷ Σωτῆρι, σεμνὴ εὐηρέστησας.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Δεσμῶν στειρωτικῶν, τῶν τῆς Ἄννης λυθέντων, ἐτέχθη ἐξ αὐτῆς, ἡ θεόνυμφος Κόρη, ἧς αἴνεσιν μεθέορτον, τῇ Γεννήσει προσάξωμεν, χαῖρε λέγοντες· εὐλογημένη Μαρία, ἡ πηγάσασα, τὴν ἀληθῆ εὐφροσύνην, τῷ τόκῳ Σου ἄχραντε.

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τῶν ἐν κόσμῳ τὴν σχέσιν ἐμφρόνως ἔλλιπες, καὶ τῷ Χριστῷ ἐνυμφεύθης, δι' ἐναρέτου ζωῆς, Θεοδώρα

δωρεῶν θείων ἐπώνυμε· καὶ τὴν μανίαν τοῦ ἐχθροῦ, ὑποστᾶσα ἀνδρικῶς, Μαρτύρων γέρας ἐδέξω, μεθ’ ὧν δυσώπει ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἐκ τῆς Ἄννης ἐτέχθης χαρὰν μηνύουσα, Θεοτόκε Παρθένε παντὶ τῷ γένει ἡμῶν· διὸ χορεύουσιν ἐν Σοί, οἱ Σοὶ γεννήτορες, ὡς λυτρωθέντες τῶν δεσμῶν, τῆς ἀπαιδίας ἀληθῶς, καὶ αἶνον εὐχαριστίας, προσήγαγον τῷ Κυρίῳ, τῷ ἐν τῷ γήρᾳ δεδωκότι Σε.

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀρκάδες ὑμνοῦσί σε καὶ Μεσσηνίων χοροί, συντρέχοντες πάνσεμνε τῷ σῳ ἁγίῳ ναῷ, ἐξ οὗ χάρις ἄφθονος, ῥέει Ὁσιομάρτυς, ὥσπερ ἄϋλον ῥεῖθρον, ἅπαντας Θεοδώρα, μυστικῶς ἁγιάζον· διὸ πᾶσιν ἐξαίτει, πταισμάτων συγχώρησιν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἐτέχθης πανάμωμε ἐκ γηραλέας μητρός, καὶ ηὔφρανας ἅπαντας ἐν τῇ Γεννήσει τῇ Σῇ, δι’ ἧς ἀναγέννησιν, εὕρομεν ἐκ τῆς πάλαι, τοῦ Ἀδὰμ καταδίκης· Σὺ γὰρ Χριστὸν τεκοῦσα, τὴν ἀνάπλασιν κόσμου, ἀνήγαγες πρὸς δόξαν, ἡμᾶς ἐξ ἧς πεπτώκαμεν.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, κατὰ Μᾶρκον: *Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν...* Ζήτει τῇ Δευτέρᾳ τῆς ιε’ ἑβδομάδος.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῆς ἀρετῆς τὴν ὁδόν, ἀσκητικῶς βαδίζουσα, πρὸς μαρτυρικὴν ἀνήχθης ἀκρώρειαν, ὡς ἐκλεκτὴ παρθένος, Θεοδώρα θεοτίμητε, καὶ τῷ Νυμφίῳ Χριστῷ, μυστικῶς συναφθεῖσα, τελεώτερον αὐτοῦ κατατρυφᾷς, λυθέντων τῶν ἐσόπτρων. Ἀλλὰ πρέσβευε δεόμεθα Ὁσιομάρτυς, σώζεσθαι τοὺς σοὺς μακαρίζοντας.

Εἶτα, οἱ Κανόνες, τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς: *Θεοῦ δῶρον πέφηνεν ἡ Θεοδώρα. Γερασίμου.*

*Ὠδὴ α’. Ἦχος β΄. Δεῦτε λαοί.*

Θείῳ φωτί, λαμπρυνομένη θεόνυμφε, τὸν σκοτασμὸν ἀπέλασον, τῆς διανοίας μου, Θεοδώρα θεόφρον, καὶ λόγον μοι παράσχου, ὅπως ὑμνήσω σε.

Ἔργοις φωτός, ἀπὸ νεότητος πάνσεμνε, τὴν σὴν ζωὴν κοσμήσασα, Μαρτύρων ἤνθησας, Θεοδώρα Ὁσία, τὴν θείαν εὐκληρίαν, ἰδίῳ αἵματι.

Οἱ τῷ ναῷ, τῷ σῷ πιστῶς καταφεύγοντες, ἁγιασμὸν λαμβάνουσι καὶ ἀπολύτρωσιν· διὰ τοῦτο Ἀρκάδες, καὶ Μεσσηνίων δῆμοι, σὲ μακαρίζουσι.

*Θεοτοκίον.*

Ὕδωρ ζωῆς, Χριστὸν τεκοῦσα ἐπήγασας· διὸ ἁγνὴ κατάσβεσον, ὄμβροις ἐλέους Σου, τῶν παθῶν μου τὴν φλόγα, καὶ σῶσόν με Παρθένε, τὸν ἀπολλύμενον.

*ᾨδὴ γ΄. Στερέωσον ἡμᾶς.*

Δοχεῖον τὴν καρδίαν σου ἐτέλεσας, ἀσκήσει ὁσίᾳ τοῦ Παρακλήτου, καὶ Μαρτύρων ὤφθης σύσκηνος, Θεοδώρα θανοῦσα ἀνδρικώτατα.

Ὡς ἤμειψας τὸ σχῆμα καὶ τὸ φρόνημα, ἀγνώριστος Μῆτερ ἐν τῷ σεμνείῳ, μοναζόντων κατεσκήνωσας, ὡς ἀνὴρ ἐναθλοῦσα θείῳ ἔρωτι.

Ῥοαῖς τῶν σῶν αἱμάτων ἡ γῆ ἤρδευται, καὶ νεύσει τῇ ἄνωθεν Θεοδώρα, πολυχεύμων κρήνη ἔβλυσε, μαρτυροῦσα τὴν χάριν ἣν ἐπλούτησας.

*Θεοτοκίον.*

Ὁλόφωτον ἀνάκτορον τοῦ Κτίσαντος, τεχθέντος ἀφράστως ἐκ τῆς γαστρός Σου, Θεοτόκε ἀειπάρθενε, τὴν καρδίαν μου σκεῦος θεῖον ἔργασαι.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀνδρείως ὑπέμεινας συκοφαντίαν δεινήν, καὶ χαίρουσα τέθυσαι ὑπὲρ τοῦ πέλας σεμνή, ὡς νύμφη τοῦ Κτίσαντος· ἔφριξαν μετὰ τέλος, ὡς κατεῖδον Ἁγία, ὅτι γυνὴ πέλεις, καὶ ἀδίκως ἐκτάνθης· διὸ σὲ Θεοδώρα, Χριστὸς ἐστεφάνωσε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.*

Σκιρτῶσι τῷ πνεύματι καὶ ἀνυμνοῦσι Θεόν, ἡ Ἄννα ἡ ἔνθεος Ἰωακεὶμ τε ὁμοῦ, τεκόντες Σε πάναγνε· ὅθεν καὶ πᾶσα κτίσις, σὺν αὐτοῖς ἑορτάζει, αἶνον εὐχαριστίας, τῇ γεννήσει Σου Κόρη, προσάδουσα ἀπαύστως, καὶ σὲ δοξάζουσι.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ναὸν θεῖόν σοι ἤγειραν, ἔνα τὸ σὸν ἐτάφη Μάρτυς σῶμα, ᾧ προσιόντες, ἁγιαζόμεθα.

Πηγὴ ὕδατος ἔβλυσεν, ἐγγὺς τοῦ τάφου σου Ὁσιομάρτυς, καὶ ἀεὶ εὐφραίνει, τοὺς σὲ μακαρίζοντας.

Ἐξιστάμεθα βλέποντες, δένδρων φυτείαν ἐπὶ τοῦ στέγους, τοῦ ναοῦ σου Μάρτυς, Χριστὸν μεγαλύνοντες.

*Θεοτοκίον.*

Φωτισμῷ τοῦ προσώπου Σου, φωτοκυῆτορ ἁγνὴ Παρθένε, καταλάμπρυνόν μου, ψυχῆς τὴν κατάστασιν.

*Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.*

Ἡ μνήμη ἡ σή, Θεοδώρα ἐπευφραίνει ἅπαντας· ὅθεν πίστει σπεύδοντες, τῷ ναῷ σου πάντες οἱ περίοικοι, δωρεῶν θεοσδότων, πληροῦνται διὰ πίστεως.

Νεκρώσει παθῶν, τοῦ ἐχθροῦ τὸ φρύαγμα ἐνέκρωσας, καὶ πρὸς ἀτελεύτητον, ἔδραμες ζωὴν καὶ ὑπερκόσμιον, ὡς ὑπέκλινας Μῆτερ, τῷ ξίφει τὸν αὐχένα σου.

Ἐξέστη ἰδών, ὅτι φόνον ἄδικον διέπραξεν, ὁ κτείνας σε δήμιος, καὶ θρηνοῦντες Μῆτερ οἱ μονάζοντες, τὸ σὸν τίμιον σῶμα, ταφῇ ὁσίᾳ ἔδωκαν.

*Θεοτοκίον.*

Ναὸς φωταυγής, καὶ ὑπερφυὲς ἐδείχθης σκήνωμα, Θεοτόκε Δέσποινα, τοῦ ἐκ τῆς νηδύος Σου ἐκλάμψαντος, ἀσυγχύτως ἀτρέπτως, καὶ πάντας καταυγάσαντος.

*Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.*

Ἡ ζωή σου ὁσία καὶ ἄμεμπτος, καὶ ἀθλητικόν σου τὸ τέλος γεγένηται· διὸ Χριστὸς ὁ Κύριος, Θεοδώρα λαμπρῶς σε ἐδόξασε.

Θείων δωρεῶν τὴν κλῆσιν πλουτήσασα, θείαις δωρεαῖς πυρσεύεις ἑκάστοτε, τοὺς εὐλαβῶς προστρέχοντας, Θεοδώρα τῷ θείῳ τεμένει σου.

Ἐκ χωρίων καὶ πόλεων σπεύδοντες, Μῆτερ τῷ ναῷ σου πιστῶν τὰ συστήματα, ἁγιασμὸν λαμβάνουσι, Θεοδώρα ὑμνοῦντες τὴν χάριν σου.

*Θεοτοκίον.*

Ὁ τῶν ὅλων Θεὸς ἐξ αἱμάτων Σου, σάρκα προσλαβὼν Θεοτόκε δι᾽ ἔλεος, τὸν κόσμον ἀνεκαίνισε, καὶ προστάτιν Σε πάντων ἀνέδειξε.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Αἱμάτων ῥοαῖς, τὴν σὴν στολὴν ἐφοίνιξας, καὶ στέφος ζωῆς, παρὰ Χριστοῦ ἀπείληφας, Ὁσιομάρτυς ἔνδοξε Θεοδώρα· διὸ ἐκβοῶμέν σοι· Μὴ διαλίπῃς αἰτοῦσα ἡμῖν, εἰρήνην καὶ ἱλασμὸν καὶ ἔλεος.

*Ὁ Οἶκος.*

Γυναικείας φύσεως θεσμοὺς ὑπεριδοῦσα, ἤμειψας καὶ κλῆσιν καὶ φρόνημα καὶ σχῆμα, ὡς τετρωμένη τῷ ἁγίῳ τοῦ Σωτῆρος ἔρωτι, καὶ ὡς ἀνὴρ ἐσκήνωσας, ἐν μέσῳ τῶν μοναστῶν, Θεοδώρα ἀεισέβαστε· καὶ ἐν θεολήπτῳ ψυχῇ, καὶ οὐρανίῳ φρονήματι, ἀνδρικῶς ἀγωνιζομένη, καὶ πυρκεύουσα κατὰ τῶν ἀρχῶν καὶ δυνάμεων τοῦ σκότους, δεινῆς συκοφαντίας τὴν ἔφοδον ὑπέστης· καὶ ἐν γαλήνῃ καρδίας, καὶ ἀγάπῃ τελείᾳ, τὴν ἄδικον κρίσιν δεξαμένη, τὴν κεφαλὴν ἐτμήθης, καὶ μαρτυρικὸν στέφανον παρὰ Χριστοῦ ἐκομίσω· καὶ νῦν μὴ διαλίπῃς αἰτοῦσα ἡμῖν, εἰρήνην καὶ ἱλασμὸν καὶ ἔλεος.

*Σ υ ν α ξ ά ρ ι ο ν*

Τῇ ΙΑ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας Ὀσιομάρτυρος Θεοδώρας τῆς ἐκ Πελοποννήσου,

κειμένης ἐν τῷ χωρίῳ Βάστᾳ τῆς Μεγαλοπόλεως Ἀρκαδίας.

*Θεω ὥσπερ δώρημα Μῆτερ προσῆξας,*
*Πόνους ἀσκήσεως καὶ χύσιν αἱμάτων.*
*Ἑνδεκάτῃ Θεοδώρᾳ τάμον δειρὴν ἄνδρες ἀπηνεῖς.*

*Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς*

Δυνάμει Χριστοῦ, ὑπερίσχυσας μανίας τοῦ βελίαρ, καὶ ἰσαγγέλων βιώσασα μαρτυρικοῦ τέλους ἔτυχες· ὅθεν καὶ διπλῶν Θεοδώρα, βραβείων ἔτυχες ψάλλουσα· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ἔγνω τὶς εἶ, ὁ τέμων τὴν κεφαλήν σου Θεοδώρα, ἐν συνοχῇ φόβου γεγένηται, καὶ ἐν ἐκπλήξει οἱ ἅπαντες, ὕμνουν τὸν Σωτῆρα Ὁσία, ὁμοφώνως κραυγάζοντες· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥημάτων τῆς σῆς, προσευχῆς ὁ σὸς Νυμφίος ἐπακούσας, πηγὴν ὑδάτων πολλῶν ἔβλυσεν, ἔνθα τὸ αἷμά σου κέχυται, καὶ ἐπὶ τοῦ θείου ναοῦ σου, ξένως Μῆτερ ἀνεφύησαν, δένδρα στεῤῥὰ καὶ θαλερά, πάντας ἐκπλήττοντα.

*Θεοτοκίον.*

Ἀθλήσει στεῤῥᾷ, ἡ Ὁσία Θεοδώρα Θεοτόκε, τῷ Σῷ Υἱῷ ὡς θῦμα ἄμωμον, καὶ ὡς παρθένος ἀμόλυντος, χαίρουσα προσήχθη ἐν πίστει, σὺν Ἁγίοις κραυγάζουσα· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ.*

Γνόντες τὸ τέλος σου σεμνή, οἱ σεπτοὶ συμμονασταί σου Θεοδώρα, ἐν ἐκπλήξει ἀνύμνουν, τὸν ζωοδότην Χριστόν, τὸν δόντα σοι δύναμιν ἄνωθεν, βιῶσαι ἐν μέσῳ, ἀνδρῶν ἐν ἀποκρύψει.

Ἔδραμον οἱ συμμονασταί, μετὰ θρήνων καὶ κλαυθμῶν καὶ θείων ὕμνων, καὶ παρέδωκαν τάφῳ, τὸ σκῆνός σου τὸ σεπτόν, ἐξ οὗ ἔῤῥει χάρις τοῦ Πνεύματος, τὴν σὴν βεβαιοῦσα, ἣν εὗρες θείαν δόξαν.

Ῥήμασι Μῆτερ γοεροῖς, ἀνεβόων οἱ φονεῖς σου μεταγνόντες· μὴ ἡμῖν στήσῃς ταύτην, τὴν ἁμαρτίαν σεμνή, ἀλλ' οἴκτειρον πάντα ὡς ἔχουσα, πολλὴν εὐσπλαγχνίαν, ὡς νύμφη τοῦ Σωτῆρος.

*Θεοτοκίον.*

Ἄχραντε Μῆτερ τοῦ Θεοῦ, τὴν χρανθεῖσάν μου ψυχὴν πολλαῖς ἀπάταις, τοῦ δολίου βελίαρ, ἀπόπλυνον τῶν παθῶν, καὶ δίδου πταισμάτων μοι ἄφεσιν, οἷα τοῦ Σωτῆρος, συμπαθεστάτη Μήτηρ.

*Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ.*

Στέφος διπλοῦν ἐκομίσω, ἐκ χειρὸς τοῦ Κυρίου, τελέσασα τὸν δρόμον εὐσεβῶς, σὺν Ὁσίοις καὶ Μάρτυσιν, ὡς Ὁσία καὶ Μάρτυς, θεόφρον Θεοδώρα ἀληθῶς· διὰ τοῦτο ἐν ὕμνοις, γεραίρομεν τὴν μνήμην σου.

Ἰδοὺ ἵδρυται θεῖος, καὶ πανίερος οἶκος, τῇ κλήσει σου Ὁσία τῇ σεπτῇ, ἔνθα τὸ σῶμά σου τεθέαται,

ὥσπερ ᾔτησας Μῆτερ, παρέχων ἀληθῆ ἁγιασμόν, Θεοδώρα θεόφρον, τοῖς εὐλαβῶς προστρέχουσι.

Μετὰ σπουδῆς οἱ Ἀρκάδες, καὶ Μεσσήνιοι ἅμα, καὶ πάντες οἱ περίοικοι πιστῶς, πανευλαβῶς καταφεύγουσι, τῷ ἐν Βάστᾳ ναῷ σου, καὶ ἄγουσι τὴν μνήμην σου σεμνή, Θεοδώρα θεόφρον· πάντων γὰρ πέλεις καύχημα.

Ὁλολαμπὴς παρεστῶσα, τῷ Νυμφίῳ σου Μάρτυς, καὶ δόξης πληρουμένης θεϊκῆς, ῥῦσαι παθῶν με ζοφώσεως, καὶ τὸν ὕμνον μου δέξαι, ὡς δῶρον Θεοδώρα εὐτελές, καὶ πταισμάτων μοι αἴτει, τὴν λύσιν καλλιπάρθενε.

*Θεοτοκίον.*

Ὑπεραγία Παρθένε, τῶν Ἀγγέλων ἡ δόξα, καὶ πάντων τῶν Ἁγίων καλλονή, τὴν ἀμορφίαν καλλώπισον, τῆς ἀθλίας ψυχῆς μου, καὶ ῥῦσαί με μανίας τοῦ ἐχθροῦ, τοῦ ζητοῦντος ὀλέσαι, τὸν ταπεινὸν ἱκέτην Σου.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ὁσίως μὲν τὸ πρότερον, τὸν βίον διανύσασα, σῦν μοναστaῖς Θεοδώρα, ὥσπερ ἀνὴρ λανθανόντως, εἶτα θάνατον ἄδικον, ὑπέστη ἀνδρικώτατα, καὶ μαρτυρίου στέφανον, παρὰ Χριστοῦ ἐκομίσω, ὑπὲρ ἡμῶν δυσωποῦσα.

*Ὅμοιον. Τῆς Ἑορτῆς.*

Ἐκ γηραλέας ἄχραντε, μητρὸς Ἄννης τῆς σώφρονος, βουλήσει θείᾳ ἐτέχθης, καὶ χαρᾶς ἔπλησας κόσμον·

διὸ ὕμνον μεθέορτον, τῇ Σῇ γεννήσει ᾄδοντες, ἀπὸ ψυχῆς βοῶμέν Σοι· χαῖρε ἁγνὴ Θεοτόκε, ἡ προστασία τοῦ κόσμου.

*Αἶνοι. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Λιποῦσα τοῦ κόσμου τὰ τερπνά, Μῆτερ ἐκ νεότητος, Χριστῷ πιστῶς ἠκολούθησας, Ἁγίοις σκάμμασι, καὶ ἀνὴρ καθάπερ, μέσον ἀνδρῶν ἤνυσας, λανθάνουσα τοὺς πάντας τὸν βίον σου· διὸ ὁ Κύριος, μαρτυρίου σε ἀνήγαγε Θεοδώρα, εἰς ὕψος περίβλεπτον.

Ἀδίκως θανεῖν φθόνῳ ἐχθροῦ, Θεοδώρα κέκρισαι, καὶ ἐκτημθεῖσα τὴν κάραν σου, τοῖς πᾶσιν ἔδειξας, ὅτι γυνὴ οὖσα, φιλοσόφως ᾔσχυνας, ἐν μέσῳ μοναστῶν, γνώμῃ κρείττονι, ἐχθρὸν τὸν δόλιον· διὰ τοῦτο ὡς Ὁσίαν σε, καὶ παρθένον ὑμνοῦμεν καὶ Μάρτυρα.

Ἐν Βάστᾳ ὁ θεῖός σου ναός, θαῦμα πέλει μέγιστον, τὴν μακαρίαν σου ἄθλησιν, ἐκφαίνων ἅπασι· δένδρα γὰρ ἐν στέγῃ, φέρει εὐθαλέστατα, καὶ ὕδατος πηγὴν βλύζει ἄφθονον, ἐγγύθεν πάνσεμνε· ὁ Χριστὸς γὰρ Θεοδώρα σε, διὰ τούτων, θαυμαστῶς ἐδόξασε.

Τὴν σὴν Θεοδώραν προσευχήν, προσδεχθεὸς ὁ Κύριος, θείων χαρίτων σε ἔπλησεν· ἐντεῦθεν σπεύδουσι, τῷ σεπτῷ ναῷ σου, Ἀρκάδες Μεσσήνιοι, καὶ πᾶσα εὐσεβούντων ὁμήγυρις, καὶ τὴν σὴν ἄθλησιν, μακαρίζουσι θεώμενοι, τὴν ἐν τούτῳ, ἐκλάμπουσαν χάριν σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Τῶν ἀρετῶν τὴν τρίβον, ἀκλινῶς βαδίζουσα, πρὸς μαρτυρικὴν ἀνήχθης ἀκρώρειαν, Ὁσιομάρτυς Θεοδώρα· τὸ γὰρ χαῦνον τοῦ θήλεος, νοΐ τελείῳ παριδοῦσα, ὡς ἀνὴρ ἠγωνίσω, πολιτείας λαμπρότητι· καὶ βασκανίας τοῦ ἐχθροῦ, κρείττων φανεῖσα, ἀθλητικῷ τέλει ἔδειξας, τὸν τῆς ψυχῆς θησαυρόν, καὶ θείων δωρεῶν τὸν πλοῦτον. Ἀλλ᾽ ὡς Ὁσίων καὶ Μαρτύρων κοινωνός, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.*

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφών, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον, τοῦ Ἱερέως τοῦ μεγάλου, μόνη καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις Θεοδώρα νύμφη Χριστοῦ, Ὁσία καὶ Μάρτυς, ἡ παρέχουσα μυστικῶς, θείων δωρημάτων, τὰς θεοσδότους δόσεις, τοῖς πίστει προσιοῦσι, τῷ θείῳ οἴκῳ σου.